## 20 OCTOMBRIE
## SF.NICHIFOR DE LA HIOS

# ACATISTUL SF.CUVIOASE MATRONA DE LA HIOS



## ATENA,1930


Η ΑΓΙΑ
ΜΑΤΡΩΝΑ
Η ΧΙΟΠΟΛΙΤΗΣ
IC XC
NIKA

www.tezaurliturgic.ro

# ΟΙΚΟΙ ΕΙΚΟΣΙ ΤΕΣΣΑΡΕΣ

## ΕΙΣ ΤΗΝ ΟΣΙΑΝ ΚΑΙ ΘΕΟΦΟΡΟΝ ΜΗΤΕΡΑ ΗΜΩΝ

## ΜΑΤΡΩΝΑΝ ΤΗΝ ΧΙΟΠΟΛΙΤΙΔΑ

ΠΟΙΗΘΕΝΤΕΣ ΠΑΡΑ ΝΙΚΗΦΟΡΟΥ ΤΟΥ ΧΙΟΥ (1)

**Τροπάριον ἦχος πλ. δ΄. Τὸ προσταχθὲν.**

Τούς τῷ Ναῷ σου καταφεύγοντας τῷ θείῳ καὶ προσκυνοῦντας σχετικῶς τὴν σὴν εἰκόνα καὶ τὴν πάντιμον κάραν, μῆτερ πανολβία, ἐν πίστει καὶ εὐλαβείᾳ εἰλικρινεῖ, τιμῶντας καὶ σεβομένους ταῖς σαῖς λιταῖς, σκέπε φρούρει πρὸς Κύριον, ἀπὸ παντοίων πειρασμῶν, ἵνα σοὶ ἀνακράζωμεν **Χαῖρε Ματρῶνα** ἔνδοξε.

**Κοντάκιον ἦχος δ΄ Τῇ ὑπερμάχῳ**

Τῇ ἐκ Θεοῦ δεδοξασμένῃ θείοις θαύμασι, θείᾳ **Ματρώνῃ** εὐλαβῶς ὕμνους προσάξωμεν, τῆς ἀσκήσεως ὑμνοῦντες αὐτῆς τοὺς ἄθλους, δι' ὧν ὄργανον ἐγένετο θεότευκτον, ἐνεργείας τῆς τοῦ πνεύματος καὶ χάριτος, ἀνακράζοντες. **Χαῖρε Ματρῶνε** ἔνδοξε.

Ἄδειν προθυμουμένῳ τοῦ σοῦ βίου **Ματρῶνα**, τὸ ἄμωμον καὶ ἄμεμπτον μῆτερ, τὴν σὴν ἐξαιτοῦμαι ἀρωγήν, καὶ ἀντίληψιν καὶ ἔμπνευσιν ἄνωθεν, ἵνα σέ, ἀξιύμνητε, ὑμνῶν προσφωνῶ τοιαῦτα.

Χαῖρε, τρωθεῖσα θείᾳ ἀγάπῃ,
χαῖρε, φυγοῦσα κόσμου ἀπάτην.
χαῖρε, γεννητόρων στοργὴν ἀποστέρξασα.
χαῖρε, τὸν Χριστὸν μόνον ὑπερποθήσασα.
χαῖρε, πάντα καταλείψασα, νουνεχῶς τὰ ἐπὶ γῆς
χαῖρε, μόνα τὰ οὐράνια ἀγαπήσασα σοφῶς.
χαῖρε, ἀπορραγεῖσα τῆς γηΐνης πατρίδος.
χαῖρε, τὴν οὐρανίαν διὰ βίου ζητοῦσα.
χαῖρε, φωτὶ ἀρετῶν ἀστράψασα.
χαῖρε, ἀΰλῳ ἐν γῇ βιώσασα,
χαῖρε, δι' ἧς ὁ Χριστὸς ἐδοξάσθη.
χαῖρε, δι' ἧς ὁ σατὰν κατῃσχύνθη.

(1) Οἱ 24 οὗτοι Οἶκοι πρὸς τὴν Ἁγίαν Ματρῶναν συνετάχθησαν ὑπὸ τοῦ Ἁγίου Νικηφόρου, εὑρέθη δὲ τὸ πρωτόγραφον ὑπὸ τοῦ ἀειμνήστου Ἱερομονάχου καὶ ἱδρυτοῦ τῆς Μονῆς Μυρσινιδίου Ἀρχιμανδρίτου Χριστοφόρου Σερέμελη, ἐν τῇ γυναικείᾳ Μονῇ τῶν Χαλάνδρων (Μ. Διδύμας) τῇ ἐπ' ὀνόματι τῆς Ἁγίας Ματρώνης τιμωμένῃ, καὶ ἀντεγράφη παρ' αὐτοῦ. Εἰς τὸ τέλος τοῦ χειρογράφου ὑπάρχει τὸ ἑξῆς δίστιχον συνταχθὲν ὑπὸ τοῦ ἰδίου Νικηφόρου :

Ἡ μὲν χεὶρ ἡ γράψασα μέλλει φθαρῆναι
γραφὴ δὲ μένει εἰς χρόνους πληρεστάτους

Νικηφόρου. Κ.Π.

www.tezaurliturgic.ro



Χαῖρε Ματρῶνα ἔνδοξε

Βλέμμα τῆς διανοίας, τῆς σῆς μῆτερ Ματρῶνα, ἀνύψωσας θεόφρον Ὁσία, πρὸς τὰ κάλλη τὰ ἐν οὐρανοῖς, ἀποθήσασα ἀπὸ ψυχῆς ἔσπευσας δι' ἔργων θείων τεύξασθαι Θεῷ, τῷ ἐν Τριάδι βοῶσα.

Ἀλληλούϊα.

Τὴν τὴν ἐνεγκαμένην, συγγενείας τε σχέσιν κατέλιπας Ματρῶνα θεόφρον, καὶ φυγοῦσα ἔρωτι Χριστοῦ, ξένη ξένως ἐπὶ γῆς ἤνυσας, ἅπαντα τὸν ἐπίκηρον βίον, δι' ὃ βοῶ σοι.

Χαῖρε, κανὼν τοῦ μονήρους βίου.
χαῖρε, ὀρθὴ ἐγκρατείας στάθμη.
χαῖρε, παρθενίας θεότευκτον ἄγαλμα.
χαῖρε, θεωρίας τοῦ πνεύματος ἔσοπτρον.
χαῖρε, βίον ὑπερκόσμιον διανύσασα ἐν γῇ.
χαῖρε, ἰσαγγέλως ζήσασα, ἐν τῇ ὕλῃ τῆς σαρκός.
χαῖρε, τοῖς δεομένοις τὸν σὸν πλοῦτον ἐκδοῦσα.
χαῖρε, ἀκτημοσύνῃ καὶ ἐνδείᾳ συζοῦσα.
χαῖρε, Ναὸν Κυρίῳ δομήσασα.
χαῖρε, χρυσὸν εἰς ἄνθρακας τρέψασα.
χαῖρε, εἰκὼν πολιτείας ἐνθέου.
χαῖρε, πιστοῖς ἀρετῶν θεῖος τόπος.

Χαῖρε Ματρῶνα ἔνδοξε.

Δῶρον μῆτερ Ὁσία, Θεοφόρε Ματρῶνα, ἀπαρχὴν καὶ ἀκροθήνιον ὄντως, προσήγαγέ σε τῷ Θεῷ ἱερὸν ἡ σὴ πατρὶς χαίρουσα, καὶ παρ' αὐτοῦ ταῖς σαῖς λιταῖς αἰτεῖται σωτηρίαν ἐν τῷ ψάλλειν οὕτως.

Ἀλληλούϊα

Ἔχουσα παρρησίαν πρὸς τὸν κτίστην τῶν ὅλων, Ματρῶνα, ἱκεσίᾳ σου θείᾳ ἐλυτρώσω ἐκ τοῦ ἀσελγοῦς βαρβάρου, ἀμνάδα τὴν σὴν ἄφθορον, καὶ ἅπαντες τοῖς θαύμασιν ἐκπλαγέντες ἐβόων σοι τοιαῦτα.

Χαῖρε, τῆς Χίου βλάστημα θεῖον,
χαῖρε, ὁσία Κυρίου νύμφη.
χαῖρε, προσευχῇ τὸν θρασὺν ἀποκτείνασα.
χαῖρε, τὸν αὐτὸν ἐκ θανάτου ζωώσασα.
χαῖρε, πᾶσαν δειματώσασα τῶν βαρβάρων τὴν πληθύν.
χαῖρε, πάντα ἐκλυτρώσασα ἐπηρείας τῆς αὐτῶν.
χαῖρε, ὅτι καὶ ζῶσα θαύμασιν ἐδοξάσθης.
χαῖρε, ὅτι τῆς θείας χάριτος ἐνεπλήσθης.
χαῖρε, τὸ τῶν παρθένων ἀγλάϊσμα.
χαῖρε, τοῦ θήλεος γένους καύχημα.
χαῖρε, Χριστοῦ καλλιπάρθενε νύμφη.
χαῖρε, ἡμῶν πρὸς Χριστὸν μεσιτεία.

Χαῖρε Ματρῶνα ἔνδοξε.

Ζήσασα ἐν ἁγνείᾳ καὶ σεμνῇ πολιτείᾳ, ἐγκρατείᾳ καὶ νήψει καὶ ἐγρηγόρσει, καὶ πάσαις ἰδέαις ἀρετῶν, καθωραΐσασα σὲ αὐτήν, ἄμεμπτος Χριστοῦ νύμφη ἐγένου, πανολβία, βοῶσα.

Ἀλληλούϊα.

Ἥνωσας παραδόξως, ἀξιάγαστε μῆτερ, τὰ ἄμικτα θεόφρον Ματρῶνα, θεωρίαν τὴν ἐν ἡσυχίᾳ, καὶ θέωσιν τὴν ὑπερκόσμιον, ἐν κόσμῳ τοῖς θορύβοις καὶ τύρβοις, δι' ὃ ὑμνῶν σε ᾄδω.

Χαῖρε, ἡ γῇ σαρκὶ παροικοῦσα
χαῖρε, ψυχῇ οὐρανοῖς ἐνοικοῦσα.
χαῖρε, τῶν γηΐνων τὸν πόθον ἀπώσασα.
χαῖρε, οὐρανίων τρωθεῖσα τῷ ἔρωτι,
χαῖρε, ὅτι θείας χάριτος ὤφθης ὄργανον ἐν γῇ.
χαῖρε, ὅτι θείοις θαύμασιν ἐδοξάσθης κατ' ἐχθρῶν,
χαῖρε, τῶν Ἀποστόλων πειθομένη τοῖς λόγοις,
χαῖρε, τοὺς θεοφόρους μιμουμένη Ὁσίους.
χαῖρε, λαμπρὸν τῆς πίστεως γνώρισμα,
χαῖρε, ἐχθρῶν δυτικῶν τὸ φίμωτρον.
χαῖρε, δι' ἧς ὁ χρυσὸς μετεβλήθη.
χαῖρε, δι' ἧς ὁ νεκρὸς ἐζωώθη.

Χαῖρε Ματρῶνα ἔνδοξε.

Θεοδρόμον πορείαν, πρὸς τὴν γῆν τῶν ὡραίων ἐκ γῆς τῆς ταραχώδους Ματρῶνα, ἀπεκάλυψέ σοι ὁ Χριστός, πρὸ

www.tezaurliturgic.ro



τριῶν Ὁσία ἡμερῶν στέλλεσθαι, ἥνπερ καὶ διανύσασα κατέπαυσας αὐτῷ βοῶσα.

Ἀλληλούϊα.

Ἴδια τὰ σὰ πάντα, ἱλαρῷ τῷ προσώπῳ καὶ γνώμῃ φιλανθρώπῳ, Ματρῶνα, διανείμασα πρὸς ἐνδεεῖς καὶ Ναὸν ἐγείρασα Θεῷ, ἔσπευσας αὐτῷ εὐαρεστῆσαι κατὰ πάντα, δι' ὃ σοι ἐπαξίως βοῶμεν.

Χαῖρε, πενήτων ἡ προστασία,
χαῖρε, ἀπόρων παραμυθία.
χαῖρε, ἐλέῳ τὴν λαμπάδα φαιδρύνασα,
χαῖρε, ταῖς ἀκτῖσιν ἀρετῶν ἀστράψασα.
χαῖρε, βίον ὑπερκόσμιον διανύσασα ἐν γῇ,
χαῖρε, πολιτείαν ἄϋλον ἐπιδείξασα βροτοῖς.
χαῖρε, δίκην ἡλίου μὴ χρανθεῖσα ταῖς ὕλαις,
χαῖρε, καθάπερ κρῖνον ἐν ἀκάνθαις φανεῖσα.
χαῖρε, σαρκὸς τὰς ὁρμὰς νεκρώσασα,
χαῖρε, ψυχῆς τὰς δυνάμεις νευρώσασα.
χαῖρε, πιστῶν καύχημα εὐσεβείας,
χαῖρε, ἀσεβῶν ἔλεγχε ἀσεβείας.

Χαῖρε Ματρῶνα ἔνδοξε.

Κήρυκες τῶν σῶν Μῆτερ, παραδόξων θαυμάτων, ἐγένοντο οἱ βάρβαροι πρῶτοι, εἶτα ὁ ἐξ ἑώας Ἀγαρηνός, μεθ' ὧν πλεῖστοι ἄλλοι εὐσεβεῖς, τοῖς πᾶσιν ἐκήρυξαν τὴν σὴν χάριν ψάλλοντες.

Ἀλληλούϊα.

Λάμπουσα παραδόξως τῶν θαυμάτων ἡ αἴγλη τῶν σῶν Μῆτερ, ἐν Χίῳ, τὸ σκότος διαλύει τῶν παθῶν, καὶ δαιμόνων ἀπελαύνει τὴν ἀχλὺν ἅπασαν, οἱ τούτων δὲ ῥυόμενοι βοῶσιν εὐχαρίστως.

Χαῖρε, ἀνόρθωσις παραλύτων,
χαῖρε, χωλῶν ἡ εὐθυδρομία
χαῖρε, ἀβλεπτοῦσι τὸ φῶς ἡ παρέχουσα,
χαῖρε, κωφοῖς εὐηκοΐαν χαρίζουσα.
χαῖρε, ἰατρεῖον ἄμισθον τῶν ἐν νόσοις χαλεπαῖς,
χαῖρε, πάντων καταφύγιον τῶν ἐν θλίψεσι δειναῖς.
χαῖρε, τῶν μογγιλάλων ἡ τρανῶσα τὰς γλώσσας,
χαῖρε, τῶν δαιμονίων ἡ ἀνύποιστος μάστιγξ.
χαῖρε, τροφὴ πεινώντων εὐφρόσυνε,
χαῖρε, γυμνῶν σκέπη καὶ περίθαλψις.
χαῖρε, χηρῶν ἡ θερμὴ προστασία,
χαῖρε, ἀργούντων ἡ παραμυθία.

Χαῖρε Ματρῶνα ἔνδοξε.

Μέγιστόν σου τὸ κλέος, καλλιπάρθενε νύμφη νύμφη, Χριστοῦ τοῦ παμβασιλέως, μεγίστη σου ἡ δόξα ἐπὶ γῆς, ἀλλ' ἀνείκαστος ἡ ἐν Οὐρανῷ πέφυκεν, ἣν ἀπείληφας, Ματρῶνα, παρὰ Θεοῦ ἐπαξίως κράζουσα. Ἀλληλούϊα

Νέα μετὰ τὸ σχίσμα ἀνεφάνης ἁγία, Ματρῶνα, ἐν τῇ καθ' ἡμᾶς Ἐκκλησίᾳ, φιμώττουσα στόματα ἐχθρῶν, θαυμάτων ἀεννάων τῇ χάριτι, ἃ διαπρίονται μὲν ἐκεῖνοι βλέποντες, ἡμεῖς δέ σοι προσφωνοῦμεν.

Χαῖρε, τὸ ἄνθος τῆς εὐσεβείας,
χαῖρε, τὸ κῦρος ὀρθοδοξίας.
χαῖρε, δογμάτων ἁγιότητι λάμπουσα,
χαῖρε, παπιστῶν τὴν αἵρεσιν ἐλέγχουσα.
χαῖρε, δεῖγμα ἀναντίρρητον εὐσεβείας τῆς ἡμῶν,
χαῖρε, ἔλεγχος σαφέστατος ἀσεβείας δυτικῶν.
χαῖρε, τῶν εὐσεβούντων σέμνωμά τε καὶ δόξα,
χαῖρε, τῶν ἀσεβούντων ὄνειδος καὶ αἰσχύνη.
χαῖρε, πιστῶν ἑτοίμη βοήθεια,
χαῖρε, πασῶν νόσων ἀλεξίκακον,
χαῖρε, στολὴ τῆς Χριστοῦ Ἐκκλησίας·
χαῖρε, λαμπρὸν καύχημα σῆς πατρίδος.

Χαῖρε Ματρῶνα ἔνδοξε

Ξύλου ἡ σὴ προμήτωρ, ἐν Ἐδὲμ γευσαμένη, ἐξώσθη θᾶττον, γεύσεως ταύτης, σὺ δὲ ἀποχῇ τῶν ἡδονῶν, ἀντεισήχθης Μῆτερ ἐν αὐτῇ χαίρουσα, καὶ ξύλου τῆς ζωῆς κατατρυφῶσα ἀκορέστως, Θεῷ κραυγάζεις. Ἀλληλούϊα.

www.tezaurliturgic.ro



Ὅλην ἐν τοῖς ὑψίστοις, θεολήπτως Ματρῶνα, ψυχὴν καὶ διάνοιαν καὶ καρδίαν ἔχουσα ἀνενδότως τὴν σήν, ὤφθης ὑπερκόσμιος ἐν γῇ ἄνθρωπος, ὅθεν ἐν σεαυτῇ τὴν θείαν χάριν ἐφελκύσω, διό σοι ᾄδω:

Χαῖρε, Θεοῦ καθαρὸν δοχεῖον,
χαῖρε, ταμεῖον χάριτος θεῖον.
χαῖρε, τῶν θαυμάτων πηγὴ ἡ ἀένναος,
χαῖρε, νοσημάτων παντοίων ἡ ἴασις.
χαῖρε, ἀκάθαρτα πνεύματα ἐξελαύνουσα πιστοῖς,
χαῖρε, ὄργανον θεότευκτον ἐνεργείας θεϊκῆς.
χαῖρε, τῶν ἐν ἀνάγκαις καταφύγιον θεῖον,
χαῖρε, τῶν θλιβομένων παραμύθιον μέγα.
χαῖρε, ἑτοίμη ἀνθρώπων βοήθεια.
χαῖρε, ἡδὺ καὶ πρᾶγμα καὶ ὄνομα.
χαῖρε, λαμπὰς φαεινὴ παρθενίας,
χαῖρε, κανὼν ἐνθέου πολιτείας.
Χαῖρε, Ματρῶνα ἔνδοξε.

Πόθος τῶν οὐρανίων, τῶν γηΐνων ἁπάντων, ἐφελκύσας σε τοῦ πόθου σχέσεώς τε πάσης ὑλικῆς, ὡς ἄϋλον ἐν ὕλῃ τῆς σαρκὸς ἔδειξεν, ἀνθρώποις συνδιάγουσαν, Ἄγγελος δὲ τῷ νοῒ συνοῦσαν καὶ ψάλλουσαν Ἀλληλούϊα.

Ῥήματα ἐγκωμίων καὶ ἐπαίνων μὴ ἔχων, καὶ εὐφημεῖν πρὸς ἀξίαν οὐ δύναμαι, τῶν σῶν οὐρανίων ἔργων τὴν λαμπρότητα, ἀλλὰ σὴν χάριν ἄνωθεν παράσχου μοι, ὑμνεῖν σε οὕτω:

Χαῖρε, Ὁσίων καύχημα θεῖον,
χαῖρε, παρθένων δόξα καὶ κλέος,
χαῖρε. ἐν ἀσκήσει φαιδρῶς διαπρέψασα,
χαῖρε, παρθενίας στιλπνότητι λάμψασα.
χαῖρε, ὅτι ἀπενέκρωσας τὰς ὁρμὰς τὰς τῶν παθῶν,
χαῖρε, ὅτι ἀπεμάρανας τὰς ἀτόπους ἡδονάς,
χαῖρε, τῆς θεωρίας εἰσελθοῦσα τὸν γνόφον,
χαῖρε, τῆς ἀπαθείας ἀνελθοῦσα τὸ ὕψος,
χαῖρε, ζωῆς ἐνθέου ὑπόδειγμα,
χαῖρε, πολλοὺς πρὸς ζῆλον ἑλκύσασα,
χαῖρε, πηγὴ ἀεννάων θαυμάτων,
χαῖρε, πριστὴρ ἀκαθάρτων πνευμάτων,
Χαῖρε, Ματρῶνα ἔνδοξε.

Σώματος ἐν τοῖς πόνοις, τῆς ἀσκήσεσεως ὅλως, ηὐλόγησας θεόφρον Ματρῶνα, καὶ γυνὴ τῇ φύσει ἀσθενὴς ὑπὲρ φύσιν ἤγειρας λαμπρὰ τρόπαια, κατὰ σαρκὸς καὶ κόσμου καὶ κοσμοκράτορος, Χριστῷ βοῶσα Ἀλληλούϊα.

Τίς σου τῶν ἐγκωμίων, καὶ τῶν ὕμνων Ματρῶνα, ἀξίως ἀφίκοιτο λόγος Ὁσία, ὁ γὰρ τῶν θαυμασίων Θεός, πηγήν σε ἀνέδειξεν ἐπὶ γῆς ἅπασιν ἀέναον, ἃ ἥττονας ἐλέγχει τοὺς λόγους ἀλλ' οὖν σοι προσφωνῶ τοιαῦτα:

Χαῖρε, τὸ σκεῦος θείων χαρίτων.
χαῖρε, τὸ ὄργανον τῶν θαυμάτων.
χαῖρε, δι' εὐχῆς τὸν βάρβαρον νεκρώσασα,
χαῖρε, δι' αὐτῆς ἐκ θανάτου ἁρπάσασα.
χαῖρε, σὺ γὰρ τὸν ἡμίξηρον ἐξιάσω ἐθνικόν,
χαῖρε, τὸν χρυσὸν εἰς ἄνθρακα μετατρέψασα εὐχῇ.
χαῖρε, ναὸν Κυρίῳ ἀνεγείρασα θεῖον,
χαῖρε, τοῖς δεομένοις παρασχοῦσα σὸν πλοῦτον,
χαῖρε, τερπνὸν ὁσίων ἀγλάϊσμα,
χαῖρε, λαμπρὸν πιστῶν ἐγκαλλώπισμα.
χαῖρε, Χριστοῦ καλλιπάρθενε νύμφη.
χαῖρε, λαμπὰς ἀρεταῖς φρυκτωροῦσα.
Χαῖρε Ματρῶνα ἔνδοξε.

Ὕπνωσας ἐν εἰρήνῃ, καὶ παρέθου τὸ πνεῦμα εἰς χεῖρας Χριστοῦ γηθομένη, τοῦ τὸν θάνατον ὕπνον ἡδὺν τῷ οἰκείῳ θανάτῳ ἀναδείξαντος, καὶ πρὸς οὐρανὸν ἄνοδον ψυχῶν ἀπὸ τῆς γῆς τοῖς ἐκβοῶσιν Ἀλληλούϊα.

Φθόγγος τῶν σῶν θαυμάτων, θεοδόξαστε Μῆτερ, εἰς πᾶσαν γῆν ἐξῆλθεν Ὁσία, ὁ γὰρ ἐν ἁγίοις θαυμαστός, ἐνεργῶν πρὸς πάντας διὰ σοῦ Κύριος, πολλοῖς θαυμαστὴν ἀνέδειξε σημείοις καὶ θαύμασι, δι' ὃ βοῶ σοι:

www.tezaurliturgic.ro



Χαῖρε, δημάτωσις τῶν βαρβάρων.
Χαῖρε, κατάπτωσις τῶν βαρβάρων.
χαῖρε, ἀστραπαῖς ἀρετῶν καταλάμψασα,
χαῖρε, τῶν παθῶν τὸ σκότος ἀπελαύνουσα.
χαῖρε, ὅτι τὸ σὸν ὄνομα πανταχοῦ γῆς θαυμαστόν,
χαῖρε, ὅτι τῶν βοώντων σοι τὰ αἰτήματα πληροῖς.
χαῖρε, τὴν θείαν χάριν τῶν θαυμάτων λαβοῦσα.
χαῖρε, τῶν δεομένων τὰς αἰτήσεις πληροῦσα,
χαῖρε, τυφλοῖς τὸ βλέπειν παρέχουσα,
χαῖρε, χωλοὺς εὐδρομοῦντας δεικνύουσα.
χαῖρε, τῶν κωφῶν ἡ εὐηκοΐα.
χαῖρε, τῶν μογγιλάλων ἡ εὐγλωττία.

Χαῖρε Ματρῶνα ἔνδοξε.

Χάριτος οὐρανίου, πλήρωσον ἡμᾶς πάντας, Ματρῶνα, τοὺς πιστούς σου οἰκέτας, χαρισμάτων τε θείων καὶ καρπῶν τῶν τοῦ πνεύματος ἔμπλησον καὶ ἐν πᾶσιν ἔργοις ἡμᾶς καὶ λόγοις χαρίτωσον τοῦ βοᾶν Ἀλληλούϊα.

Ψάλλοντας μετὰ πόθου, τοὺς ὕμνους, Ματρῶνα, καὶ τὴν ἰσάγγελόν σου πολιτείαν, τὰς ὑπὲρ ἄνθρωπον ἀρετὰς καὶ τοὺς σοὺς ἀγῶνας τοὺς λαμπροὺς ᾄδοντας, ἐπίβλεψον δεόμεθα, καὶ ἔπιδε βοῶντας σοι τάδε:

χαῖρε, Θεοῦ ἐκ παιδὸς δοχεῖον,
χαῖρε, ἁγία ἐξ ἀρχῆς βίου.
χαῖρε, γεηρὸν πάντα πόθον μισήσασα,
χαῖρε, τὸν Χριστὸν ἀπὸ βρέφους ποθήσασα.
χαῖρε, ἱερὸν κειμήλιον βασιλείας οὐρανῶν.
χαῖρε, ἀρετῶν θησαύρισμα καὶ ταμεῖον ἱερόν.
χαῖρε, τῆς ἐγκρατείας ὁ κανών τε καὶ στάθμη.
χαῖρε, τῆς παρθενίας ὁ ἀσύλητος ὄλβος.
χαῖρε, δι' ἧς ὁ Θεὸς ὑπερύψωται,
χαῖρε, δι' ἧς ὁ σατὰν καταβέβληται.
χαῖρε, πιστῶν πρὸς Θεὸν μεσιτεία,
χαῖρε, παθῶν ἀνιάτων ὑγεία.

Χαῖρε Ματρῶνα ἔνδοξε.

Ὢ πανθαύμαστε ὄντως, θεοφόρε Ματρῶνα, προσθήκη τῶν φρονίμων παρθένων, δεξαμένη Μῆτερ εὐμενῶς τὴν οἰκτράν μου ταύτην προσφοράν, πρέσβευε σωθῆναι τοὺς πιστοὺς ἅπαντας καὶ μετὰ πάντων κἀμὲ τὸν ἀνάξιον Θεῷ βοῶντα Ἀλληλούϊα.

**Κοντάκιον**

Τῇ ἐκ Θεοῦ δεδοξασμένῃ θείοις θαύμασιν Ματρώνῃ εὐλαβῶς ὕμνους προσάξωμεν, τῆς ἀσκήσεως ὑμνοῦντας αὐτῆς τοὺς ἄθλους, δι' ὧν ὄργανον ἐγένετο θεότευκτον, ἐνεργείας τῆς τοῦ Πνεύματος καὶ χάριτος, ἀνακράζοντες:

Χαῖρε Ματρῶνα ἔνδοξε.


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ